Ἔνθα δ' ἅμα τροχόωσ' ἄρκτοι, ἢ δισσαὶ ἅμαξαι,
Θρέπτειραι αἱ δ' ἦσαν τοῦ μεγάλοιο Διός.
Τὰς διὰ ἀμφοτέρας ποταμῷ εἰλεῖται ἐοικώς.
Τοῖς θνητοῖς φοβερὸν καὶ μέγα θαῦμα, δράκων.
Ἔστι δ' εἰ εἴδωλον, τὸ μὲν οὔτις ἐπίσταται εἰπεῖν,
Τί πράττει, γνῶναι ἀμφαδὸν ἠδὲ σαφῶς.
Αὐτοῦ κἀκεῖνον στέφανον Διόνυσος ἔθηκεν,
Σῆμα ἀποιχομένῃ τῇ Ἀριάδνῃ ἐμέν.
Σκέπτεο δὴ ὤμους ὀφιούχου σφόδρα φαεινοῦ,
Καὶ χηλῶν μεγάλως φῶς μὴ ἀγαυὸν ὅρα.
Ἐνθάδε κ' ἀρτοφύλαξ φέρεται ἐλάοντι ἐοικώς,
Ἰχθύες, ἀρκτοῦρος, καρκῖνος ἠδὲ λέων.
Ἡνίοχος τ' ἔριφοι θ', ὕαδές τε καὶ ὠλενίη αἴξ,
Παρ ποσὶν ἡνιόχου ταύρου ἔνεστι κέρα.
Καὶ κηφεὺς τανύων χεῖρας καὶ δάκρυα λείβων,
Δαιμονίη τε δάμαρ κασσιέπεια πάρα.
Ἀνδρομέδης μάλα αἰνὸν ἄγαλμα κυλίνδεται ὧδε,
Τῆς σποράδην κεῖται ζώματα πάντα ἔτι.
Παρθένος αἰγλήεντα στάχυν μετὰ χερσὶ φέρουσα,
Ἄνδρας ἔτι στυγεροὺς μισέει ἠδὲ στυγεῖ.
Ἀλλ' οὔτις πάντας δύναται τοὺς ἀστέρας εἰπεῖν,
Οἳ περικυλίνδονται αἰὲν, ἄνευ τε τέλους.
Εἰμὴ Ἰωάννης οὗτος πάνυ ὄβριμος ἀνὴρ,
Ἐν βραχέσιν τούτοις ἄστρα πίναξι γράφων.
Ἀλλὰ ἐπειδὴ ὁ Ζεὺς ἀνθρώποισι ἤπιός ἐστι,
Δεξιὰ σημαίνων καὶ ἐπὶ ἔργον ἄγων.
Χρή μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκεσθαι,
Καὶ ταυτῷ ὕμνους, κάλλιμα δῶρα, φέρειν.
Ὅττ' ἀνέμων ὑετοῦ τε ὁμῶς, καὶ χείματος αὐτὸν,
Οὐρανοῦ ἐν ἐδάφει σήματ' ἔθηκεν ἑοῦ.